λῶς διαφθείρεται. εἰ γὰρ καὶ τοσούτων παρακειμένων εἰς
φόβον, ἀφοβίαν ὡς ἐπὶ πολὺ νοσοῦσιν ἄνθρωποι, πῶς
ἂν συνεῖναι γοῦν ἀλλήλοις ἐδυνήθησαν, εἰ μηδὲν αὐτοῖς
κατ' ὀφθαλμοὺς ἐπήρτητο δέος; μάλιστα τοιγαροῦν καὶ
νόσος διάνοιαν σκληροτέραν. καὶ ναυάγιον πολλάκις συμ-
πεσὸν ἐμπόρων ἐπίορκον τρόπον μετέβαλε. πενία αὖθις
κατήνεγκε τὸν ἐπαρθέντα πλούτῳ. παίδων στέρησις ἐσω-
φρόνισε τὸν διὰ παῖδας πλεονεκτοῦντα. εἰ δὲ μὴ ἐσω-
φρόνισε τὸ ὑπόδειγμα τοῖς αἰσθανομένοις παρέσχε. καὶ οἱ
μὲν παῖδες ἐβλάβησαν παντελῶς οὐδέν, μᾶλλον μὲν οὖν εὐ-
εργετήθησαν ἀγωγῆς φαύλων γονέων ἀπαλλαγέντες, τὰ
δὲ τῆς πλεονεξίας διελήλεγκται. ἄλλων αὖθις εὖ διακει-
μένων τελευτῶσιν, ἢ ὡς ἀνάξιοι τῶν φυσάντων γενησό-
μενοι, ἵνα μὴ στήλη κακὴ ἀγαθῶν ἀναστῶσιν, ἢ ἀγαθοί γε τυγ-
χάνοντες, εἰ ἐπὶ πλέον αὐξηθεῖεν, ὡς ἐκ μεταβολῆς γενησό-
μενοι φαῦλοι εὐεργετοῦνται, μὴ καθ' ἑαυτῶν διαμένοντες τῇ
προγνώσει, τοῦ θεοῦ πάντα διοικοῦντος. καὶ ἀναγκαῖοι γε λίαν
οἱ φόβοι. καὶ ποικίλα καὶ ἄπειρα τῷ πλήθει τὰ αἴτια
ὧν δὴ θεὸς οἰκονομεῖ. καὶ τὰ αὐτὰ πολλάκις διὰ ποικίλας
προφάσεις συμβαίνει. ὁ μὲν ἀρρωστεῖ δι' ἁμαρτίας ἐπι-
στρεφόμενος. ὁ δὲ δι' ἀρετὴν ἔτι μᾶλλον γυμναζόμενος εἰς
μαρτυρίαν. ἄλλος διὰ ὑπερβολὴν κακίας ἐληλεγμένος
καὶ τοῦ αὐτοῦ συμπτώματος ποικίλα τὰ αἴτια. ὁ μὲν ἐκ-
πίπτει πλούτου, μὴ καλῶς χρησάμενος. ἄλλος ὡς
καλῶς χρησάμενος φειδοῖ θεοῦ. ἄλλος δὲ πρὸς ἀρετὴν
διὰ πενίας γυμναζόμενος. ἕτερος ἑκὼν ῥίπτει τῶν χρη-
μάτων τὸ βάρος, ὡς μὴ πρὸς ἀρετὴν ἐμποδίζοιτο. καὶ
οὐκ ἂν μέν τις ῥᾳδίως κατίδοι τὴν κατὰ μέρος ἀκρί-
βειαν, ὧν ὁ θεὸς ἀνθρώπων φειδόμενος οἰκονομεῖ. τὰ
δὲ ὀλίγα καταλαμβανόμενα, πίστις γίνεται τῶν μὴ
καταλαμβανομένων. τὰ μὲν γὰρ καὶ αὐτὸς ἄνθρωπος
σαφηνίζει, ὡς ἂν ἔχοιεν ἀναβάσει κεχρῆσθαι τρόπον
τινὰ πρὸς αὐτόν, δι' ὧν ἐπαισθάνονται. τὰ δὲ πλεῖ-
στα